www.tezaurliturgic.ro


*Ἰσχύς μου καὶ ὕμνησίς μου ὁ Κύριος*
*(Ψαλμ. 117, 14)*

*Ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω. (Ψαλμ. 145, 2)*

Δρος Χαραλάμπους Μ. Μπούσια
Μεγάλου Ὑμνογράφου τῆς τῶν Ἀλεξανδρέων Ἐκκλησίας

# ΧΑΙΡΕΤΙΣΤΗΡΙΟΙ ΟΙΚΟΙ
# ΕΙΣ ΤΟΝ ΟΣΙΟΝ ΚΑΙ ΘΕΟΦΟΡΟΝ ΠΑΤΕΡΑ ΗΜΩΝ ΔΑΝΙΗΛ ΤΟΝ ΕΚ ΖΑΓΟΡΑΣ ΠΗΛΙΟΥ

Ἀθῆναι 2017


ΑΠΟϹΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗϹ ΕΚΚΛΗϹΙΑϹ ΤΗϹ ΕΛΛΑΔΟϹ

# ΧΑΙΡΕΤΙΣΤΗΡΙΟΙ ΟΙΚΟΙ

## ΕΙΣ ΤΟΝ ΟΣΙΟΝ ΚΑΙ ΘΕΟΦΟΡΟΝ ΠΑΤΕΡΑ ΗΜΩΝ

# ΔΑΝΙΗΛ

## ΤΟΝ ΕΚ ΖΑΓΟΡΑΣ ΠΗΛΙΟΥ

**Ποίημα Δρος Χαραλάμπους Μ. Μπούσια.**

**Κοντάκιον.**
**Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.**

Πνευματοφόρον Δανιὴλ ἐγκωμιάσωμεν
ὡς ἀσκητὴν Ἁγίου Ὄρους νῦν φιλόκαλον,
ἀτραποῖς ἀκολουθήσαντα Κολλυβάδων
καὶ Πεντέλης Μάνδραν, Σίκινον, Φολέγανδρον
ἅμα Πάρον ἁγιάσαντα ἀσκήσεσι
θείοις κράζοντες· Χαίροις, Πάτερ θεόσοφε.

**Οἱ Οἶκοι.**

Ἄγγελος ἀνεδείχθης,
Δανιὴλ Ἀθωνῖτα,
φωτόλαμπρος ἀσκήσει συντόνῳ **(ἐκ γ΄ )**
καὶ ἀγῶσιν ὑπὲρ τῆς ὀρθῆς,
πάτερ, δοξασίας, ἱερὸν σέμνωμα
εὐχῆς καὶ ταπεινώσεως·
διό σοι εὐλαβῶς βοῶμεν·

Χαῖρε, τὸ βλάστημα τοῦ Πηλίου·
χαῖρε, τὸ σύντριμμα τοῦ δολίου.

Χαῖρε, Ζαγορᾶς πανευώδης ὑάκινθος·
χαῖρε, γεραρᾶς ἐνασκήσεως πρόβολος.

Χαῖρε, γέρας πολυτίμητον ἐγκρατείας καὶ εὐχῆς·
χαῖρε, κέρας ὑπερθαύμαστον θεαρέστου ἀγωγῆς.

Χαῖρε, τοῦ Ἀρσενίου ὁδηγὸς τοῦ Ὁσίου·
χαῖρε, τοῦ εὐϊλάτου μιμητὴς Θεοῦ Λόγου.

Χαῖρε, Κυκλάδων νήσων διδάσκαλος·
χαῖρε, πατρῴων νόμων ὑπέρμαχος·

Χαῖρε, λαμπὰς νεαυγὴς εὐσεβείας·
χαῖρε, ψεκὰς ἄκρας σκληραγωγίας·

Χαίροις, Πάτερ θεόσοφε.

**Β**λάστημα τοῦ Πηλίου
εὐθαλὲς καὶ ἡδύπνουν,
θεόφρον Δανιήλ, εὐωδίᾳ
πανοσίας σου διαγωγῆς
πᾶσαν Ἐκκλησίαν τοῦ Χριστοῦ ηὔφρανας
καὶ εὐσεβούντων ἤνοιξας
τὰ χείλη εὐλαβῶς κραυγάζειν·

Ἀλληλούϊα.

**Γ**νῶμον ἀκτημοσύνης,
Δανιὴλ θεοφόρε,
πατέρων νεαυγῶν κοσμιότης,
Ζαγορᾶς χρῖσμα μυρεψικόν,
ἐν Ἁγίῳ Ὄρει ταῖς ὀδμαῖς πόνων σου
ἀσκητικῶν καθήδυνας
ἀζύγους σοι βοῶντας ταῦτα·

Χαῖρε, δοχεῖον τῆς ἀπαθείας·
χαῖρε, ταμεῖον ζωῆς ἁγίας.

Χαῖρε, ὁ ἀσκήσας νομίμως ἐν Ἄθωνι·
χαῖρε, ὁ ποτίσας αὐτοῦ χθόνα δάκρυσι.

Χαῖρε, ῥόδον εὐωδέστατον ἰσαγγέλου ἀγωγῆς·
χαῖρε, ἄστρον παμφαέστατον θεαρέστου βιοτῆς.

Χαῖρε, ὁ τῶν πατρῴων παραδόσεων στῦλος·
χαῖρε, τῶν εὐσεβούντων οὐρανόσδοτος ὄλβος.

Χαῖρε, ἐχθροῦ ὀλέτης τοῦ ἄφρονος·
χαῖρε, Χριστοῦ θεράπον πανόσιος.

Χαῖρε, χαρίτων ἀκένωτος κρήνη·
χαῖρε, δαιμόνων πληθύος ἡ δίνη·

Χαίροις, Πάτερ θεόσοφε.

**Δ**ρόμον ποδηγεσίας
μαθητῶν ἐν τῇ Σμύρνῃ
ἐβάδισας, θεόσοφε πάτερ,

Δανιήλ, ἐν ᾗ τὸν εὐπειθῆ
φοιτητήν σου ἔσχες, πάνυ Ἀρσένιον,
προστάτην τὸν γενόμενον
Παρίων, μεθ’ οὗ ᾖδες πόθῳ·

Ἀλληλούϊα.

**Ε**ἵλκυσας μαθητήν σου,
Δανιήλ, τὸν θεόπνουν
Ἀρσένιον, εἰς Ἄθωνα σχῆμα
ὑπὸ σοῦ τῶν Ἀγγέλων λαβεῖν,
τοῦ εὐαρεστήσαντος αὐτοῦ, Ὅσιε,
ὑπακοῇ καὶ σκάμμασι
Θεῷ· διὸ τρανῶς βοῶμεν·

Χαῖρε, διδάσκαλος Ἀρσενίου·
χαῖρε, ἀντίπαλος τοῦ δολίου.

Χαῖρε, ὑφηγῆτορ σοφίας τῆς κρείττονος·
χαῖρε, παρακλῆτορ λαοῦ εὐσεβόφρονος.

Χαῖρε, ὅτι ἀναβέβηκας τὰς βαθμίδας ἀρετῆς·
χαῖρε, ὅτι βάθρον πέφηνας ἐναρέτου ἀγωγῆς.

Χαῖρε, ὁ νουθετήσας μονοτρόπων τὰ πλήθη·
χαῖρε, ὁ καταστείλας τοῦ σαρκίου τὰ πάθη.

Χαῖρε, ὁσίων φάρος νεόφωτος·
χαῖρε, πατέρων σάλπιγξ μεγάφωνος·

Χαῖρε, ὁ ἕρκος φυλάσσων ὀδόντων·
χαῖρε, ὁ στῦλος στηρίζων τὸν κόσμον.

Χαίροις, Πάτερ θεόσοφε.

**Ζ**ῆλον, πάτερ, κατέχων,
Δανιήλ, φιλοκάλων,
πατέρων Κολλυβάδων, χορείαις
προσεχώρησας καὶ διωγμὸν
μετ’ αὐτῶν ὑπέστης ἀπηνῆ, Ὅσιε,
ὁ καθ’ ἑκάστην Κύριον
δοξάζων καὶ τρανῶς κραυγάζων·

Ἀλληλούϊα.

**Ἤ**σκησας θεαρέστως
καὶ ἡσύχως ἐν Ἄθῳ

τηρῶν πανευλαβῶς παραδόσεις
πατρικάς, Δανιὴλ θαυμαστέ,
καὶ ὁσίων πάλαι ἀσκητῶν πέφηνας
ἀρτίως ἰσοστάσιος·
διό σοι ἐν χαρᾷ βοῶμεν·

Χαῖρε, νεόφωτον Ἄθω φέγγος·
χαῖρε, νεόφυτον τούτου ἄνθος.

Χαῖρε, ἀρετῆς ἀκραιφνοῦς ἐνδιαίτημα·
χαῖρε, σιωπῆς καὶ πραότητος σκήνωμα.

Χαῖρε, ὅτι κατηδάφισας τὴν ὀφρὺν τοῦ μιαροῦ·
χαῖρε, ὅτι κατηγλάϊσας Ἐκκλησίαν τοῦ Χριστοῦ.

Χαῖρε, τῆς εὐσεβείας ἀῤῥαγέστατος στῦλος·
χαῖρε, τῆς σωτηρίας εὐσεβῶν θεῖος φάρος.

Χαῖρε, ἀστὴρ σοφίας καὶ νήψεως·
χαῖρε, φωστὴρ ψυχῶν κατανύξεως.

Χαῖρε, φρονήσεως θείας ταμεῖον·
χαῖρε, ἀσκήσεως ἄκρας πυξίον·

Χαίροις, Πάτερ θεόσοφε.

**Θ**εῖον σχῆμα ἀγγέλων
ὁ διδοὺς Ἀρσενίῳ
ὁσίῳ, Δανιήλ, φοιτητῇ σου,
ἐν τῷ Ἄθῳ τὸ μέγα. σεπτέ,
σὺν αὐτῷ σοῦ βίου ἀτραπὸν ἤνυσας
τὴν τεθλιμμένην· ὅθεν σοι
βοῶμεν εὐχαρίστῳ γλώσσῃ·

Ἀλληλούϊα.

**Ἴ**σχυσας ἐνασκήσει,
Δανιήλ, θεαυγεῖ σου
συντρίψαι τὰς ἐνέδρας Βελίαρ
καὶ βαθμίδας καλῶς ἀνελθεῖν
ἀρετῆς συνέσει, προσευχῇ, δάκρυσι,
νηστείᾳ καὶ στερήσεσι·
διό σοι ἐκβοῶμεν πόθῳ·

Χαῖρε, τὸ κῦδος τῶν μονοτρόπων·
χαῖρε, τὸ εὖχος τῶν Κολλυβάδων.

Χαῖρε, Νικηφόρου τοῦ Χίου ὁμόζηλος·

χαῖρε, Μακαρίου Κορίνθου ὁ σύσκηνος.

Χαῖρε, σύναυλος οὐράνιος Νικοδήμου τοῦ σοφοῦ·
χαῖρε, ἔνθεος διδάσκαλος Ἀρσενίου τοῦ σεπτοῦ.

Χαῖρε, Ἀθανασίῳ συνοικῶν τῷ Παρίῳ·
χαῖρε, ὁ σὺν Κυρίλλῳ χαίρων Παπαδοπούλῳ.

Χαῖρε, κλεινοῦ ἐφάμιλλος Νήφωνος·
χαῖρε, Χριστοῦ πυξὶς ἀγαπήσεως.

Χαῖρε, χαρίτων παντοίων ὁ δότης·
χαῖρε, πατέρων ὁσίων ἀλείπτης·

Χαίροις, Πάτερ θεόσοφε.

**Κ**λέϊσμα μονοτρόπων
εἰς Μονὴν τῆς Πεντέλης
κατέφυγες σὺν τῷ Ἀρσενίῳ
σῷ σεπτῷ φοιτητῇ, Δανιήλ,
μετ' ἐκδίωξιν σου ἐκ δρυμῶν Ἄθωνος,
ἣν πόνοις σου ἡγίασας
καὶ ἔπιθες ἀζύγους ψάλλειν·

Ἀλληλούϊα.

**Λ**άμψας ἐν Φολεγάνδρῳ
ὡς φωστὴρ ἀπαθείας
ἐφώτισας αὐγαῖς διδαχῶν σου
τῶν ἐνοίκων αὐτῆς τοὺς χοροὺς
σὺν τῷ Ἀρσενίῳ, ὃν εὐχαῖς ἔδειξας
διάκονον ταῖς θείαις σου
ἐν ταύτῃ, ὁ ἀπαύστως ψάλλων·

Χαῖρε, τὸ ἄστρον τῆς Φολεγάνδρου·
χαῖρε, τὸ μάκτρον δακρύων κόσμου.

Χαῖρε, εὐσεβείας καὶ νήψεως πρόβολος·
χαῖρε, ἐγκρατείας κανὼν ὁ εὐθύτατος.

Χαῖρε, ὅτι πᾶσιν ἔδειξας τὴν σωτήριον ὁδόν·
χαῖρε, ὅτι κατηγλάϊσας τοὺς χοροὺς Κυκλαδιτῶν.

Χαῖρε, ὁμολογίας ὁ λαβὼν θεῖον στέφος·
χαῖρε, κακοπαθείας τοῦ σαρκίου ὁ στῦλος.

Χαῖρε, ποθῶν τοῦ πόλου τὰ ἄῤῥευστα·
χαῖρε, πιὼν ἀσκήσεως νάματα.

Χαῖρε, εὐχῆς ἐφαλτήριον θεῖον·
χαῖρε, σιγῆς ἐντευκτήριον νέον·

Χαίροις, Πάτερ θεόσοφε.

**Μ**ένων ἐν τῇ ἀγάπῃ
τοῦ Χριστοῦ ἄχρι τέλους
Αὐτὸς ἐγκατεστάθη καιρίως
ἐν καρδίᾳ τῇ σῇ, Δανιήλ,
χριστοφόρε πάτερ, ἀσκητῶν ἔκτυπον·
διό σε μακαρίζοντες
κραυγάζομεν ἐν κατανύξει·

Ἀλληλούϊα.

**Ν**ήσων Κυκλάδων γέρας,
Δανιήλ, Φολεγάνδρου,
Σικίνου τε καὶ Πάρου κοσμῆτορ,
Λογγοβάρδας πανσέπτου Μονῆς
θεοφόρος ὤφθης ἀληθῶς ἔνοικος·
διὸ ἡμεῖς τιμῶντές σε
ἐν ὕμνοις ἐκτενῶς βοῶμεν·

Χαῖρε, τὸ καύχημα τῆς Σικίνου·
χαῖρε, τὸ κλέϊσμα Φολεγάνδρου.

Χαῖρε, Φιλοθέου Ζερβάκου ὁ πρόδρομος·
χαῖρε, Ἀρσενίου ὁ θεῖος διδάσκαλος.

Χαῖρε, ῥεῖθρον παραδόσεων τῶν πατρῴων διειδές·
χαῖρε, βάθρον ἀγαπήσεως τοῦ Χριστοῦ νεοπαγές.

Χαῖρε, ὁ νουθετήσας μονοτρόπων χορείας·
χαῖρε, ὁ ὁδηγήσας πρὸς Θεὸν νήσων παῖδας.

Χαῖρε, αὐλὸς εὐχῆς παναρμόνιος·
χαῖρε, πυρσὸς ἀγάπης ἀείφωτος.

Χαῖρε, ἀρίστων ἀγώνων ἀκρότης·
χαῖρε, ὁσίων πατέρων φαιδρότης·

Χαίροις, Πάτερ θεόσοφε.

**Ξ**ένων θαυμάτων ὤφθη
πολυχεύμων χειμάῤῥους
ἡ θεία, Δανιήλ, κεφαλή σου,

ἣν ὡς ὄλβον κατέχει σεπτὸν
ἡ Μονὴ τοῦ Δάσους, ἀσκητὰ ὅσιε,
Ἀρσένιος ἣν ἔκτισε
ὁμοῦ σὺν τῷ Κυρίλλῳ ψάλλων·

Ἀλληλούϊα.

Ὄμβριζε οὐρανόθεν,
Δανιήλ, ὑμνηταῖς σου
ἀφθόνως ὑετὸν σωτηρίας,
προσκυνοῦσι σὴν κάραν πιστῶς
ἐν Μονῇ τοῦ Δάσους, μαθητὴς θεῖός σου,
Ἀρσένιος, ἣν ἔκτισε,
τοῖς πόθῳ σοι βοῶσι ταῦτα·

Χαῖρε, νοσούντων ἡ θεραπεία·
χαῖρε, στενόντων ἡ εὐθυμία.

Χαῖρε, ἰατρὸς ἀσθενούντων ἀνάργυρος·
χαῖρε, φυτουργὸς ὑγιείας οὐράνιος.

Χαῖρε, κρήνη τῶν ἰάσεων ἀνιάτως ἀσθενῶν·
χαῖρε, πύλη θείων δόσεων καὶ ἐξ ὕψους δωρεῶν.

Χαῖρε, ὁ τῶν ἀλγούντων ἐπωδύνως ἀκέστωρ·
χαῖρε, ὁ τῶν καμνόντων χαλεπῶς παρακλήτωρ.

Χαῖρε, κρουνὸς θαυμάτων ἀστείρευτος·
χαῖρε, φανὸς χαρίτων νεόφωτος.

Χαῖρε, πηγὴ ἰαμάτων παντοίων·
χαῖρε, στακτὴ δωρεῶν οὐρανίων·

Χαίροις, Πάτερ θεόσοφε.

Πρόξενος θαυμασίων
ἡ σὴ κάρα ἐπώφθη,
ἣν ἔχει τὸ κελλίον ὁσίου
Ἀρσενίου, τοῦ σοῦ μαθητοῦ,
ἐν Μονῇ τοῦ Δάσους, Δανιὴλ πάντιμε,
ὡς θησαυρὸν ἀτίμητον,
μεθ’ οὗ πανευλαβῶς φωνοῦμεν·

Ἀλληλούϊα.

Ῥεύμασι χάριτός σου,
Δανιήλ, ἁγιάζεις

κατοίκους Ζαγορᾶς τῆς εὐάνδρου,
σοῖς σπαργάνοις, σεπτὲ ἀσκητά,
τῆς σεμνυνομένης, καὶ χοροὺς ἅπαντας
πιστῶν μακαριζόντων σε
καὶ ὕμνοις μελιχροῖς βοώντων·

Χαῖρε, σφραγὶς δωρεᾶς ἐνθέου·
χαῖρε, πυξὶς σκηνωμάτων πόλου.

Χαῖρε, ποταμὸς ἰαμάτων ἀστείρευτος·
χαῖρε, θησαυρὸς ἀρετῆς ἀδαπάνητος.

Χαῖρε, κλέος ἱερώτατον ἐν Πηλίῳ Ζαγορᾶς·
χαῖρε, αὖχος θεοδώρητον χριστωνύμων τῆς χαρᾶς.

Χαῖρε, σθένος καὶ ῥῶσις τῶν δεινῶς κλονουμένων·
χαῖρε, ἄνθος ἰσχύος ἀλγεινῶς ἀσθενούντων.

Χαῖρε, φρουρὸς ἁπάντων ἀνύστακτος·
χαῖρε, ταχὺς δαιμόνων ἀντίπαλος.

Χαῖρε, λαμπὰς εὐσεβῶν ὑγιείας·
χαῖρε, ψεκὰς πρὸς Θεὸν παῤῥησίας.

Χαίροις, Πάτερ θεόσοφε.

Σέμνωμα εὐσεβείας,
Ὀρθοδόξων δογμάτων
καὶ τόλμης, Δανιὴλ θεοφόρε,
ἐπαιάνισας σάλπιγγι σῇ
ἀρετῆς ἐνθέου, προσευχῆς, νήψεως
ᾠδὰς καὶ ταπεινώσεως
χορείαις εὐσεβῶν ψαλλόντων·

Ἀλληλούϊα.

Τείχισον σοὺς ἱκέτας,
Δανιήλ, προστασίᾳ
ἀγρύπνῳ σου, σεπτῇ ἀντιλήψει
καὶ φρουρᾷ οὐρανίᾳ, σεπτέ,
τοὺς πιστῶς ἐν Πάρῳ κεφαλὴν θείαν σου
ἀσπαζομένους, Ὅσιε,
πρὸς ὃν ἐν χαρμονῇ βοῶμεν·

Χαῖρε, προστάτης τῶν σῶν προσφύγων·
χαῖρε, ἀλείπτης σεπτῶν ἀζύγων.

Χαῖρε, ὁ δραμὼν πρὸς τὰ ἄνω σκηνώματα·
χαῖρε, ὁ οἰκῶν τὰ οὐράνια δώματα.

Χαῖρε, ὅτι τῆς νεότητος ὤφθης καθοδηγητής·
χαῖρε, ὅτι τῆς χρηστότητος ἀνεδείχθης ζηλωτής.

Χαῖρε, φῶς Φολεγάνδρου καὶ Σικίνου καὶ Πάρου·
χαῖρε, δᾴς τοῦ ἐχθίστου ὁ καυστὴρ τοῦ δολίου.

Χαῖρε, στρουθὸς ἀγάπης τῆς κρείττονος·
χαῖρε, καρπὸς ἀγώνων πολύφορος.

Χαῖρε, σεμνῶν ὑμνηπόλων σου ῥῶσις·
χαῖρε, πολλῶν δωρεῶν θείων δόσις·

Χαίροις, Πάτερ θεόσοφε.

**Ὕ**μνοις σε μελιῤῥύτοις
καὶ ψαλμοῖς εὐφημοῦντες
καὶ ἄγοντες σὴν πάνσεπτον μνήμην,
Δανιήλ, Ζαγορᾶς εὐθαλὲς
καὶ εὐῶδες ἴον, ἀσκητῶν σέμνωμα,
καὶ νήσων ῥόδον εὔοσμον
Κυκλάδων, εὐλαβῶς βοῶμεν·

Ἀλληλούϊα.

**Φ**έγγει ἀσκητικῶν σου,
Δανιήλ, παλαισμάτων,
φωτίζεις Ἁγιώνυμον ὄρος,
Ζαγορὰν τοῦ Πηλίου λαμπρῶς
καὶ Κυκλάδων νήσων εὐσεβεῖς μέλποντας
σὴν ἀγωγὴν ἰσάγγελον
καὶ ψάλλοντας ἐν εὐλαβείᾳ·

Χαῖρε, ἐκπύρσευμα θυμασίων·
χαῖρε, φρυκτώρημα πόνων θείων.

Χαῖρε, ὁ σκεδάσας νεότητος ζόφωσιν·
χαῖρε, ὁ λαμπρύνας τῆς γνώσεως ἔλλαμψιν.

Χαῖρε, ὅτι κατεφώτισας Φολεγάνδρου τοὺς πιστούς·
χαῖρε, ὅτι ἀπημαύρωσας πολεμήτορος ἑσμούς.

Χαῖρε, θείων χαρίτων καθαρὸν ἐκμαγεῖον·
χαῖρε, πόνων ἀρίστων εὐωδέστατον ἴον.

Χαῖρε, ὀρθῶν δογμάτων ἀνάστημα·

χαῖρε, λαμπρῶν ἀγώνων στεφάνωμα.

Χαῖρε, πιστῶν ἐν δεινοῖς παρακλῆτορ·
χαῖρε, ἡμῶν ταχινὸς ἀντιλῆπτορ·

Χαίροις, Πάτερ θεόσοφε.

**Χ**αῖρε, ὁ τῶν πατρῴων
παραδόσεων στῦλος,
βαλβὶς τῶν Ὀρθοδόξων δογμάτων
καὶ εἰκών, Δανιήλ, διαυγὲς
θεϊκῶν χαρίτων εὐλαβῶς κράζοντες
πρὸς τὸν Σωτῆρα Κύριον
κραυγάζομεν φωναῖς αἰσίαις·

Ἀλληλούϊα.

**Ψ**άλλοντες ἔνστασίν σου
τὴν σεπτὴν καὶ ἁγίαν
καὶ μέλποντες σεπτούς σου ἀγῶνας
παραδόσεων πρὸς πατρικῶν
τήρησιν τῶν θείων, Δανιὴλ ὅσιε,
περιχαρῶς τιμῶμέν σε,
πανεύφημε, καὶ ἐκβοῶμεν·

Χαῖρε, τοῦ Ἄθωνος ὁ οἰκήτωρ·
χαῖρε, τοῦ Πνεύματος ὁ κοσμήτωρ.

Χαῖρε, Ὀρθοδόξων δογμάτων ἡ ἔκφρασις·
χαῖρε, φιλοκάλων πατέρων ἡ ἔλλαμψις.

Χαῖρε, φίλος γνησιώτατος τοῦ Παντάνακος Θεοῦ·
χαῖρε, πύργος ἀδιάσειστος ἀγαπήσεως Αὐτοῦ.

Χαῖρε, ὁ τῶν Κυκλάδων ἁγιάσας τὰς νήσους·
χαῖρε, ὁ τῶν ὁσίων ὡραΐσας τοὺς δήμους.

Χαῖρε, λειμὼν εὐώδης ἀσκήσεως·
χαῖρε, εἰκὼν σοφίας καὶ νήψεως.

Χαῖρε, ὁ ὅρπηξ Χριστοῦ Ἐκκλησίας·
χαῖρε, ὁ φοῖνιξ πιστῶν σωτηρίας·

Χαίροις, Πάτερ θεόσοφε.

**Ὦ** κρηπὶς εὐσεβείας,
Δανιὴλ θεοφόρε,

πατρῴας παραδόσεως βάθρον **(ἐκ γ´ )**
ἀδιάσειστον, ἐκ Ζαγορᾶς
ὁ ἐξανατείλας καὶ φωτὶ πόνων σου
Ἑλλάδος θείων πέρατα
φωτίσας ἐκτενῶς ἐβόας·

Ἀλληλούϊα.

**Καὶ αὖθις τὸ Κοντάκιον.**
**Ἦχος πλ. δ´. Τῇ Ὑπερμάχῳ.**

**Π**νευματοφόρον Δανιὴλ ἐγκωμιάσωμεν
ὡς ἀσκητὴν Ἁγίου Ὄρους νῦν φιλόκαλον,
ἀτραποῖς ἀκολουθήσαντα Κολλυβάδων
καὶ Πεντέλης Μάνδραν, Σίκινον, Φολέγανδρον
ἅμα Πάρον ἁγιάσαντα ἀσκήσεσι
θείοις κράζοντες· Χαίροις, Πάτερ θεόσοφε.

**Δίστιχον.**

**Χαῖρε, Δανιὴλ σεπτέ, σὺν Ἰγνατίῳ**
**καὶ Δημητρίῳ, ἔκραξε Χαραλάμπης.**

**ΤΕΛΟΣ**

**ΚΑΙ ΔΟΞΑ**

**ΤΩ͂ ΜΟΝΩ͂ ΑΛΗΘΙΝΩ͂ ΘΕΩ͂ ΗΜΩΝ**

**Ἀριθμ. Καταλ. Χ 176 / 23-7-17**


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ